## XIX

βεβλήσθω κύβος· ἅπτε· πορεύσομαι. — ἠνίδε τόλμαν·
οἰνοβαρές, τίν' ἔχεις φροντίδα; — κωμάσομαι,
κωμάσομαι. — ποῖ, θυμέ, τρέπῃ; — τί δ' Ἔρωτι λογισμός;
ἅπτε τάχος. — ποῦ δ' ἡ πρόσθε λόγων μελέτη;
— ἐρρίφθω σοφίας ὁ πολὺς πόνος· ἓν μόνον οἶδα
τοῦθ', ὅτι καὶ Ζηνὸς λῆμα καθεῖλεν Ἔρως.

## XX

οἴσω ναὶ μὰ σέ, Βάκχε, τὸ σὸν θράσος· ἁγέο κώμων,
ἄρχε, θεὸς θνατὰν ἁνιόχει κραδίαν.
ἐν πυρὶ γενναθεὶς στέργεις φλόγα τὰν ἐν Ἔρωτι,
καί με πάλιν δήσας τὸν σὸν ἄγεις ἱκέταν.
ἦ προδότας κἄπιστος ἔφυς, τεὰ δ' ὄργια κρύπτειν
αὐδῶν, ἐκφαίνειν τἀμὰ σὺ νῦν ἐθέλεις.

## XXI

οὔ σοι ταῦτ' ἐβόων, ψυχή, "ναὶ Κύπριν ἁλώσει,
ὦ δύσερως, ἰξῷ πυκνὰ προσιπταμένη";
οὐκ ἐβόων; εἷλέν σε πάγη· τί μάτην ἐνὶ δεσμοῖς
σπαίρεις; αὐτὸς Ἔρως τὰ πτερά σου δέδεκεν,
καί σ' ἐπὶ πῦρ ἔστησε, μύροις δ' ἔρρανε λιπόπνουν,
δῶκε δὲ διψώσῃ δάκρυα θερμὰ πιεῖν.

## XXII

ἆ ψυχὴ βαρύμοχθε, σὺ δ' ἄρτι μὲν ἐκ πυρὸς αἴθῃ,
ἄρτι δ' ἀναψύχεις πνεῦμ' ἀναλεξαμένη.